Con este uso, el participio (sin el artículo) modifica a un verbo en la oración. En otras palabras, el participio da información adicional sobre la acción verbal en cuanto al "cuándo", "cómo", "por qué", etc. Con experiencia, usted debería aprender a especificar la relación lógica del participio adverbial con el verbo central. Esta relación puede ser una temporal, de manera, medio, causa, condicional, concesión, propósito, o resultado. Por el momento, basta enfocarse en:

1. Reconocer que una palabra es un participio.
2. Determinar si el participio es adjetival o verbal.
3. Determinar el uso del participio. Si es adjetival, ¿es sustantivado, atributivo, o predicativo? Si es verbal, ¿es adverbial, perifrástico, o genitivo absoluto?
4. Producir una traducción básica basada en las decisiones anteriores.

Varios factores afectan la manera de traducir participios adverbiales. Algunos de estos factores tienen que ver con el griego y otros con el español. Por el momento, el mejor acercamiento es dar un buen punto de partida para la traducción y dejar que usted descubra cuándo es necesario variar de la traducción básica. El punto de partida es:

- Traducir el participio presente con un gerundio ("caminando", "viviendo", etc.).
- Traducir el participio aoristo con la preposición "después de" (a veces "mientras") y un infinitivo ("después de caminar", "después de vivir") o un verbo finito ("mientras caminaba", "mientras vivía").
- Traduzca el participio perfecto con un participio en español ("caminado", "vivido").

Los siguientes ejemplos muestran los alineamientos mencionados pero también se desvían de ellos cuando sea necesario.

Participios en el tiempo presente

Ejemplo 6: …ἥψατο αὐτοῦ **λέγων**, Θέλω, καθαρίσθητι·
Lo tocó **diciendo**, "Estoy dispuesto. Sé limpio."

Ejemplo 7: Ὁ δὲ Πέτρος … ἀπῆλθεν πρὸς ἑαυτὸν **θαυμάζων** τὸ γεγονός.
Pero Pedro salió **maravillándose** a sí mismo sobre lo que sucedió.

Ejemplo 8: ἦλθεν γὰρ Ἰωάννης μήτε **ἐσθίων** μήτε **πίνων**…
Porque Juan vino ni **comiendo** ni **bebiendo**…

Ejemplo 9: **…**ὁ πρῶτος ἔλαβεν γυναῖκα, καὶ **ἀποθνῄσκων** οὐκ ἀφῆκεν σπέρμα·
…el primero tomó una esposa, y **puesto que él murió** no dejó un descendiente.

Ejemplo 10: ὀφθαλμοὺς **ἔχοντες** οὐ βλέπετε καὶ ὦτα **ἔχοντες** οὐκ ἀκούετε;
Aunque tienen ojos, ustedes no ven y, **aunque tienen** oídos, no oyen?

Participios en el tiempo aoristo

Ejemplo 11: καὶ **ἐλθόντες** εἰς τὴν οἰκίαν εἶδον τὸ παιδίον μετὰ Μαρίας...
Y **después de venir** a la casa vieron al niño con María…

Ejemplo 12: **Ἀκούσας** δὲ ὁ Ἰησοῦς εἶπεν· αὕτη ἡ ἀσθένεια οὐκ ἔστιν πρὸς θάνατον...
Pero **después de oír** Jesús dijo (o Jesús **oyó** y dijo), “Esta enfermedad no es para muerte…”

Ejemplo 13: **Βαπτισθεὶς** δὲ ὁ Ἰησοῦς εὐθὺς ἀνέβη ἀπὸ τοῦ ὕδατος·
Y **después de ser bautizado** al instante Jesús subió del agua.

En los ejemplos previos, los participios en negritas son adverbiales porque no llevan el artículo y modifican un verbo en la oración. Además, no funcionan como un sustantivo (uso sustantivado), no modifican a un sustantivo en la oración (uso atributivo), y no completan un pensamiento acerca de un sustantivo (uso predicativo).

Adicionalmente, los participios de arriba están en el caso nominativo. Con mucha frecuencia los participios adverbiales están en el caso nominativo porque normalmente modifican el verbo central de la oración y, por lo tanto, cuentan con el mismo sujeto, el cual está en caso nominativo.

25.2 VERBOS OMEGA: PRIMER AORISTO PARTICIPIO (TODAS LAS VOCES)

Memorice las siguientes formas, sobre todo las del nominativo.

25.2.1 Formas del aoristo activo participio de λύω

Caso	Masculino	Femenino	Neutro
Singular			
Nominativo	**λύσας**	**λύσασα**	**λυσάν**
Genitivo	**λύσαντος**	-	-
Dativo	**λύσαντι**	-	-
Acusativo	**λύσαντα**	**λύσασαν**	**λυσάν**
Plural			
Nominativo	**λύσαντες**	**λύσασαι**	-
Genitivo	**λυσάντων**	-	-
Dativo	**λύσασι(ν)**	-	-
Acusativo	**λύσαντας**	-	**λύσαντα**

25.2.2 Formas del aoristo medio participio de λύω

Caso	Masculino	Femenino	Neutro
Singular			
Nominativo	**λυσάμενος**	**λυσαμένη**	**λυσάμενον**
Genitivo	**λυσαμένου**	**λυσαμένης**	-
Dativo	-	-	-
Acusativo	**λυσάμενον**	-	-
Plural			
Nominativo	**λυσάμενοι**	-	-
Genitivo	**λυσαμένων**	-	-
Dativo	**λυσαμένοις**	-	-
Acusativo	**λυσαμένους**	-	-

25.2.3 Formas del aoristo pasivo participio de λύω

Caso	Masculino	Femenino	Neutro
Singular			
Nominativo	**λυθείς**	**λυθεῖσα**	**λυθέν**
Genitivo	**λυθέντος**	**λυθείσης**	**λυθέντος**
Dativo	**λυθέντι**	**λυθείσῃ**	-
Acusativo	**λυθέντα**	**λυθεῖσαν**	**λυθέν**
Plural			
Nominativo	**λυθέντες**	**λυθεῖσαι**	**λυθέντα**
Genitivo	**λυθέντων**	**λυθεισῶν**	**λυθέντων**
Dativo	-	-	**λυθεῖσιν**
Acusativo	**λυθέντας**	-	**λυθέντα**

25.3 VERBOS OMEGA: SEGUNDO AORISTO ACTIVO Y MEDIO

La clave para distinguir entre el participio presente y segundo aoristo es reconocer el tema aoristo. No es necesario memorizar estas formas. Las formas pasivas del verbo segundo aoristo no se dan porque son poco comunes en el Nuevo Testamento.

25.3.1 Formas del aoristo activo participio de ἔρχομαι

Aunque ἔρχομαι es deponente en otros tiempos, no lo es en el tiempo aoristo. La theta (θ) no debería confundirse con la señal temporal del aoristo. Es parte del tema (ἐλθ-).

Caso	Masculino	Femenino	Neutro
Singular			
Nominativo	ἐλθ**ών**	ἐλθ**οῦσα**	ἐλθ**όν**
Genitivo	ἐλθ**όντος**	ἐλθ**ούσης**	ἐλθ**όντος**
Dativo	ἐλθ**όντι**	ἐλθ**ούσῃ**	-
Acusativo	ἐλθ**όντα**	ἐλθ**οῦσαν**	ἐλθ**όντα**
Plural			
Nominativo	ἐλθ**όντες**	ἐλθ**οῦσαι**	ἐλθ**όντα**
Genitivo	ἐλθ**όντων**	-	-
Dativo	ἐλθ**οῦσι(ν)**	ἐλθ**οῦσαις**	-
Acusativo	ἐλθ**όντας**	ἐλθ**ουσας**	-

25.3.2 Formas del aoristo medio de γίνομαι

El verbo γίνομαι es deponente en el tiempo aoristo. Este verbo es el más común del aoristo segundo para estas formas.

Caso	Masculino	Femenino	Neutro
Singular			
Nominativo	γεν**όμενος**	-	-
Genitivo	γεν**ομένου**	γεν**ομένης**	γεν**ομένου**
Dativo	-	-	-
Acusativo	γεν**όμενον**	γεν**ομένην**	γεν**όμενον**
Plural			
Nominativo	γεν**όμενοι**	γεν**όμεναι**	-
Genitivo	γεν**ομένων**	γεν**ομένων**	γεν**ομένων**
Dativo	γεν**ομένοις**	-	γεν**ομένοις**
Acusativo	γεν**ομένους**	-	γεν**όμενα**

25.4 EJERCICIOS

Lea las siguientes oraciones en voz alta y luego tradúzcalas. Con los primeros 30 ejercicios, analice la palabra **en negrita**. Para los participios, "analice" significa escribir el tiempo, voz, "participio", caso, género, número, y forma léxica.

Además, si la palabra en negritas es un participio:

1. Indique si el uso es sustantivado (el participio funciona como un sustantivo), atributivo (modifica un sustantivo), o predicativo (completa un pensamiento sobre un sustantivo).

2. Indique por qué el participio tiene el caso que tiene. Es decir, si el uso es sustantivado, el participio tiene el caso que tiene porque realiza una función en la oración como sujeto, objeto directo, objeto indirecto, etc. ¿Cuál es la función del participio en negrita? Si el uso es atributivo o predicativo, tiene el caso que tiene porque concuerda con su sujeto en caso. ¿Cuál es el sujeto del participio?

1. ἀλλ' ὁ **πέμψας** με βαπτίζειν (bautizar) ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν, Ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 1:33)

2. Ἦν Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου εἷς ἐκ τῶν δύο τῶν **ἀκουσάντων** παρὰ Ἰωάννου καὶ ἀκολουθησάντων αὐτῷ. Εὑρίσκει οὗτος πρῶτος τὸν ἀδελφὸν τὸν ἴδιον Σίμωνα, καὶ λέγει αὐτῷ, Εὑρήκαμεν τὸν Μεσίαν (Mesías) - ὅ ἐστιν μεθερμηνευόμενον (traducido), Χριστός.

3. Ἀμὴν ἀμὴν λέγω σοι ὅτι ὃ οἴδαμεν λαλοῦμεν, καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν· καὶ τὴν μαρτυρίαν ἡμῶν οὐ λαμβάνετε. Εἰ τὰ ἐπίγεια (las cosas terrenales) εἶπον ὑμῖν καὶ οὐ πιστεύετε, πῶς, ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια (las celestiales), πιστεύσετε; Καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ **καταβάς**, ὁ υἱὸς τοῦ ἀνθρώπου ὁ ὢν ἐν τῷ οὐρανῷ. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 3:11-13)

4. Ὁ **λαβὼν** αὐτοῦ τὴν μαρτυρίαν ἐσφράγισεν (reconoce) ὅτι ὁ θεὸς ἀληθής (verdadero) ἐστιν. Ὃν γὰρ ἀπέστειλεν ὁ θεός, τὰ ῥήματα τοῦ θεοῦ λαλεῖ·

5. Ἔγνω οὖν ὁ πατὴρ ὅτι ἐν ἐκείνῃ τῇ ὥρᾳ, ἐν ᾗ εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι Ὁ υἱός σου ζῇ· καὶ ἐπίστευσεν αὐτὸς καὶ ἡ οἰκία αὐτοῦ ὅλη. Τοῦτο πάλιν δεύτερον σημεῖον ἐποίησεν ὁ Ἰησοῦς, **ἐλθὼν** ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν. Μετὰ ταῦτα ἦν ⸀ ἡ ⸁ ἑορτὴ (fiesta) τῶν Ἰουδαίων, καὶ ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 4:53-5:1)

6. Ἀπεκρίθη αὐτοῖς, Ὁ ποιήσας με ὑγιῆ (sano), ἐκεῖνός μοι εἶπεν…

7. Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ὁ τὸν λόγον μου ἀκούων, καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον· καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν (ha pasado) ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ἔρχεται ὥρα καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ οἱ ἀκούσαντες ζήσονται. Ὥσπερ γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως **ἔδωκεν** καὶ τῷ υἱῷ ζωὴν ἔχειν (tener) ἐν ἑαυτῷ· (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 5:24-26)

8. Καὶ ὁ πέμψας με πατήρ, αὐτὸς μεμαρτύρηκεν περὶ ἐμοῦ. Οὔτε φωνὴν αὐτοῦ ἀκηκόατε πώποτε (jamás), οὔτε εἶδος (forma) αὐτοῦ ἑωράκατε. Καὶ τὸν λόγον αὐτοῦ οὐκ ἔχετε **μένοντα** ἐν ὑμῖν, ὅτι ὃν ἀπέστειλεν ἐκεῖνος, τούτῳ ὑμεῖς οὐ πιστεύετε.

9. Ἐγόγγυζον (se quejaban) οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι εἶπεν, Ἐγώ εἰμι ὁ ἄρτος ὁ **καταβὰς** ἐκ τοῦ οὐρανοῦ. Καὶ ἔλεγον, Οὐχ οὗτός ἐστιν Ἰησοῦς ὁ υἱὸς Ἰωσήφ, οὗ ἡμεῖς οἴδαμεν τὸν πατέρα καὶ τὴν μητέρα; Πῶς οὖν λέγει οὗτος ὅτι Ἐκ τοῦ οὐρανοῦ καταβέβηκα; Ἀπεκρίθη οὖν ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς… (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 6:41-43)

10. Πᾶς οὖν ὁ ἀκούων παρὰ τοῦ πατρὸς καὶ μαθών (aprende), ἔρχεται πρός με. Οὐχ ὅτι τὸν πατέρα τις ἑώρακεν, εἰ μὴ ὁ **ὢν** παρὰ τοῦ θεοῦ, οὗτος ἑώρακεν τὸν πατέρα. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμέ, ἔχει ζωὴν αἰώνιον. Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς. Οἱ πατέρες ὑμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ, καὶ ἀπέθανον. Οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, ἵνα τις ἐξ αὐτοῦ φάγῃ καὶ μὴ ἀποθάνῃ. Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα. Καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστίν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς.

11. Πολλοὶ οὖν **ἀκούσαντες** ἐκ τῶν μαθητῶν αὐτοῦ εἶπον, Σκληρός (difícil) ἐστιν οὗτος ὁ λόγος· τίς δύναται αὐτοῦ ἀκούειν (oír); (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 6:60)

12. Ἀπεκρίθη οὖν αὐτοῖς ὁ Ἰησοῦς καὶ εἶπεν, Ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμή, ἀλλὰ τοῦ πέμψαντός με. Ἐάν τις θέλῃ τὸ θέλημα αὐτοῦ ποιεῖν (hacer), **γνώσεται** περὶ τῆς διδαχῆς, πότερον (si) ἐκ τοῦ θεοῦ ἐστιν, ἢ ἐγὼ ἀπ' ἐμαυτοῦ λαλῶ. Ὁ ἀφ' ἑαυτοῦ λαλῶν, τὴν δόξαν τὴν ἰδίαν ζητεῖ·

13. Εἶπεν οὖν ὁ Ἰησοῦς, Ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι, καὶ ὑπάγω πρὸς τὸν πέμψαντά με. Ζητήσετέ με, καὶ οὐχ εὑρήσετε· καὶ ὅπου εἰμὶ ἐγώ, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν (venir). Εἶπον οὖν οἱ Ἰουδαῖοι πρὸς ἑαυτούς, Ποῦ οὗτος μέλλει πορεύεσθαι (ir) ὅτι ἡμεῖς οὐχ **εὑρήσομεν** αὐτόν; (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 7:33-35)

14. Λέγει Νικόδημος πρὸς αὐτούς - ὁ **ἐλθὼν** νυκτὸς πρὸς αὐτόν, εἷς ὢν ἐξ αὐτῶν - Μὴ ὁ νόμος ἡμῶν κρίνει τὸν ἄνθρωπον, ἐὰν μὴ ἀκούσῃ παρ' αὐτοῦ πρότερον (primero) καὶ γνῷ τί ποιεῖ; Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ, Μὴ καὶ σὺ ἐκ τῆς Γαλιλαίας εἶ;

15. Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ, Ἐν ἁμαρτίαις σὺ ἐγεννήθης ὅλος, καὶ σὺ διδάσκεις ἡμᾶς; Καὶ ἐξέβαλον αὐτὸν ἔξω. Ἤκουσεν ὁ Ἰησοῦς ὅτι ἐξέβαλον αὐτὸν ἔξω· καὶ εὑρὼν αὐτόν, εἶπεν αὐτῷ, Σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ θεοῦ; Ἀπεκρίθη ἐκεῖνος καὶ εἶπεν, Καὶ τίς ἐστιν, κύριε, ἵνα **πιστεύσω** εἰς αὐτόν; Εἶπεν δὲ αὐτῷ ὁ Ἰησοῦς, Καὶ ἑώρακας αὐτόν, καὶ ὁ λαλῶν μετὰ σοῦ ἐκεῖνός ἐστιν. Ὁ δὲ ἔφη, Πιστεύω, κύριε· καὶ προσεκύνησεν αὐτῷ. Καὶ εἶπεν ὁ Ἰησοῦς, Εἰς κρίμα ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον, ἵνα οἱ μὴ βλέποντες βλέπωσιν, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται. Καὶ ἤκουσαν ἐκ τῶν Φαρισαίων ταῦτα οἱ ὄντες μετ' αὐτοῦ, καὶ εἶπον αὐτῷ, Μὴ καὶ ἡμεῖς τυφλοί ἐσμεν; Εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, Εἰ τυφλοὶ ἦτε, οὐκ ἂν εἴχετε ἁμαρτίαν· νῦν δὲ λέγετε ὅτι Βλέπομεν· ἡ οὖν ἁμαρτία ὑμῶν μένει. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 9:34-41)

16. Ἀκούσας δὲ ὁ Ἰησοῦς εἶπεν, Αὕτη ἡ ἀσθένεια (enfermedad) οὐκ ἔστιν πρὸς θάνατον, ἀλλ' ὑπὲρ τῆς δόξης τοῦ θεοῦ, ἵνα **δοξασθῇ** ὁ υἱὸς τοῦ θεοῦ δι' αὐτῆς. Ἠγάπα δὲ ὁ Ἰησοῦς τὴν Μάρθαν καὶ τὴν ἀδελφὴν (hermana) αὐτῆς καὶ τὸν Λάζαρον.

17. Εἶπεν αὐτῇ ὁ Ἰησοῦς, Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή· ὁ πιστεύων εἰς ἐμέ, κἂν (y si) ἀποθάνῃ, ζήσεται· καὶ πᾶς ὁ **ζῶν** καὶ πιστεύων εἰς ἐμέ, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα. Πιστεύεις τοῦτο; Λέγει αὐτῷ, Ναί (Sí), κύριε· ἐγὼ πεπίστευκα, ὅτι σὺ εἶ ὁ Χριστός, ὁ υἱὸς τοῦ θεοῦ, ὁ εἰς τὸν κόσμον ἐρχόμενος. Καὶ ταῦτα εἰποῦσα ἀπῆλθεν, καὶ ἐφώνησεν (llamó) Μαρίαν … εἰποῦσα, Ὁ διδάσκαλος πάρεστιν καὶ φωνεῖ (llama) σε. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 11:25-28)

18. Ἡ οὖν Μαρία, ὡς ἦλθεν ὅπου ἦν ὁ Ἰησοῦς, **ἰδοῦσα** αὐτόν, ἔπεσεν αὐτοῦ εἰς τοὺς πόδας λέγουσα αὐτῷ, Κύριε, εἰ ἦς ὧδε, οὐκ ἄν ἀπέθανέν μου ὁ ἀδελφός.

19. Ἔλεγον οὖν οἱ Ἰουδαῖοι, Ἴδε πῶς ἐφίλει (él amaba) αὐτόν. Τινὲς δὲ ἐξ αὐτῶν εἶπον, Οὐκ ἠδύνατο οὗτος, ὁ **ἀνοίξας** τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ, ποιῆσαι (hacer) ἵνα καὶ οὗτος μὴ ἀποθάνῃ; (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 11:36-37)

20. Πολλοὶ οὖν ἐκ τῶν Ἰουδαίων, οἱ **ἐλθόντες** πρὸς τὴν Μαρίαν καὶ θεασάμενοι (vieron) ἃ ἐποίησεν ὁ Ἰησοῦς, ἐπίστευσαν εἰς αὐτόν. Τινὲς δὲ ἐξ αὐτῶν ἀπῆλθον πρὸς τοὺς Φαρισαίους, καὶ εἶπον αὐτοῖς ἃ ἐποίησεν ὁ Ἰησοῦς. Συνήγαγον οὖν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι συνέδριον (concilio), καὶ ἔλεγον, Τί ποιοῦμεν; Ὅτι οὗτος ὁ ἄνθρωπος πολλὰ σημεῖα ποιεῖ.

21. ὁ λόγος ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Ὅτι ἐγὼ ἐξ ἐμαυτοῦ οὐκ **ἐλάλησα**· ἀλλ' ὁ πέμψας με πατήρ, αὐτός μοι ἐντολὴν ἔδωκεν, τί εἴπω καὶ τί λαλήσω. Καὶ οἶδα ὅτι ἡ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστιν· ἃ οὖν λαλῶ ἐγώ, καθὼς εἴρηκέν μοι ὁ πατήρ, οὕτως λαλῶ. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 12:48-50)

22. Καὶ ἀπεκρίθη Θωμᾶς, καὶ εἶπεν αὐτῷ, Ὁ κύριός μου καὶ ὁ θεός μου. Λέγει αὐτῷ ὁ Ἰησοῦς, Ὅτι **ἑώρακάς** με, πεπίστευκας; Μακάριοι οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες.

23. Πολλοὶ δὲ τῶν ἀκουσάντων τὸν λόγον **ἐπίστευσαν**· (ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ 4:4)

24. Οἱ δὲ **ἀκούσαντες** ἐδόξαζον τὸν κύριον·

25. **Δικαιωθέντες** οὖν ἐκ πίστεως, εἰρήνην ⸀ ἔχομεν ⸃ πρὸς τὸν θεὸν διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ τὴν προσαγωγὴν (acceso) ἐσχήκαμεν τῇ πίστει εἰς τὴν χάριν ταύτην ἐν ᾗ ἑστήκαμεν, καὶ καυχώμεθα ἐπ' ἐλπίδι τῆς δόξης τοῦ θεοῦ. (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 5:1-2)

26. Πολλῷ οὖν μᾶλλον, δικαιωθέντες νῦν ἐν τῷ αἵματι αὐτοῦ, **σωθησόμεθα** δι' αὐτοῦ ἀπὸ τῆς ὀργῆς.

27. ὁ γὰρ **ἀποθανὼν** δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας. Εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ, πιστεύομεν ὅτι καὶ συζήσομεν (viviremos con) αὐτῷ· (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 6:7-8)

28. Ὅτι δὲ ἐν νόμῳ οὐδεὶς δικαιοῦται παρὰ τῷ θεῷ, δῆλον (evidente)· ὅτι Ὁ δίκαιος ἐκ πίστεως ζήσεται· ὁ δὲ νόμος οὐκ ἔστιν ἐκ πίστεως, ἀλλ' Ὁ **ποιήσας** αὐτὰ ἄνθρωπος ζήσεται ἐν αὐτοῖς.

29. Οὕτως καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασεν γενηθῆναι (hacerse) ἀρχιερέα, ἀλλ' ὁ **λαλήσας** πρὸς αὐτόν, Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε. (ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ 5:5)

30. Οὗτός ἐστιν ὁ ἐλθὼν δι' ὕδατος καὶ αἵματος, Ἰησοῦς Χριστός· οὐκ ἐν τῷ ὕδατι μόνον, ἀλλ' ἐν τῷ ὕδατι καὶ τῷ αἵματι. Καὶ τὸ πνεῦμά ἐστιν τὸ **μαρτυροῦν**, ὅτι τὸ πνεῦμά ἐστιν ἡ ἀλήθεια.

31. Τέξεται (ella dará luz a) δὲ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ κυρίου διὰ τοῦ προφήτου, λέγοντος… (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 1:21-22)

32. καὶ ἐλθόντες εἰς τὴν οἰκίαν, εἶδον τὸ παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ, καὶ πεσόντες προσεκύνησαν αὐτῷ, καὶ ἀνοίξαντες τοὺς θησαυροὺς (tesoros) αὐτῶν προσήνεγκαν αὐτῷ…

33. Ἰδὼν δὲ τοὺς ὄχλους, ἀνέβη εἰς τὸ ὄρος· καὶ καθίσαντος αὐτοῦ, προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ, ἐδίδασκεν αὐτούς, λέγων, Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι· ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 5:1-3)

34. Ἀκούσας δὲ ὁ Ἰησοῦς ἐθαύμασεν, καὶ εἶπεν τοῖς ἀκολουθοῦσιν, Ἀμὴν λέγω ὑμῖν, οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον.

35. Καὶ προσελθὼν εἷς γραμματεὺς εἶπεν αὐτῷ, Διδάσκαλε, ἀκολουθήσω σοι ὅπου ἐὰν ἀπέρχῃ. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 8:19)

36. Καὶ ἐγερθεὶς ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. Ἰδόντες δὲ οἱ ὄχλοι ἐθαύμασαν, καὶ ἐδόξασαν τὸν θεόν, τὸν δόντα ἐξουσίαν τοιαύτην τοῖς ἀνθρώποις.

37. Ὁ δὲ ἀποκριθεὶς εἶπεν τῷ εἰπόντι αὐτῷ, Τίς ἐστιν ἡ μήτηρ μου; Καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου; Καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἐπὶ τοὺς μαθητὰς αὐτοῦ εἶπεν, Ἰδού, ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου. Ὅστις γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς, αὐτός μου ἀδελφὸς καὶ ἀδελφὴ καὶ μήτηρ ἐστίν. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 12:48-50)

38. Ἐν δὲ τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελθὼν ὁ Ἰησοῦς ἀπὸ τῆς οἰκίας ἐκάθητο παρὰ τὴν θάλασσαν. Καὶ συνήχθησαν πρὸς αὐτὸν ὄχλοι πολλοί…

39. Καὶ προσελθόντες οἱ μαθηταὶ εἶπον αὐτῷ, Διὰ τί ἐν παραβολαῖς λαλεῖς αὐτοῖς; Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς ὅτι Ὑμῖν δέδοται γνῶναι (saber) τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν, ἐκείνοις δὲ οὐ δέδοται. Ὅστις γὰρ ἔχει, δοθήσεται αὐτῷ καὶ περισσευθήσεται· ὅστις δὲ οὐκ ἔχει, καὶ ὃ ἔχει, ἀρθήσεται ἀπ' αὐτοῦ. Διὰ τοῦτο ἐν παραβολαῖς αὐτοῖς λαλῶ, ὅτι βλέποντες οὐ βλέπουσιν, καὶ ἀκούοντες οὐκ ἀκούουσιν… (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 13:10-13)

40. Ἀποκριθεὶς δὲ Σίμων Πέτρος εἶπεν, Σὺ εἶ ὁ Χριστός, ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῷ, Μακάριος εἶ, Σίμων Βαριωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέν (reveló) σοι, ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς.

41. Καὶ ἀκούσαντες οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι τὰς παραβολὰς αὐτοῦ ἔγνωσαν ὅτι περὶ αὐτῶν λέγει. Καὶ ζητοῦντες αὐτὸν κρατῆσαι (prender), ἐφοβήθησαν τοὺς ὄχλους, ἐπειδὴ (porque) ὡς προφήτην αὐτὸν εἶχον. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 21:45-46)

42. Καὶ προσελθὼν ὁ Ἰησοῦς ἐλάλησεν αὐτοῖς, λέγων, Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. Πορευθέντες μαθητεύσατε (hagan discípulos) πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος·

43. …λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, Ποῦ (Dónde) θέλεις ἀπελθόντες ⸀ ἑτοιμάσωμεν ⸁ ἵνα φάγῃς τὸ Πάσχα (Pascua); (ΚΑΤΑ ΜΑΡΚΟΝ 14:12)

44. Καὶ ἀποκριθεῖσα ἡ μήτηρ αὐτοῦ εἶπεν, Οὐχί, ἀλλὰ κληθήσεται Ἰωάννης. Καὶ εἶπον πρὸς αὐτὴν ὅτι Οὐδείς ἐστιν ἐν τῇ συγγενείᾳ (familia) σου ὃς καλεῖται τῷ ὀνόματι τούτῳ.

45. καὶ … ἔγραψεν λέγων, Ἰωάννης ἐστὶν ὄνομα αὐτοῦ. καὶ ἐθαύμασαν πάντες. ἀνεῴχθη δὲ τὸ στόμα αὐτοῦ παραχρῆμα (al instante) καὶ ἡ γλῶσσα αὐτοῦ, καὶ ἐλάλει εὐλογῶν τὸν θεόν. (ΚΑΤΑ ΛΟΥΚΑΝ 1:63-64)

46. καὶ ἔθεντο πάντες οἱ ἀκούσαντες ἐν τῇ καρδίᾳ αὐτῶν, λέγοντες, Τί … τὸ παιδίον τοῦτο ἔσται; καὶ γὰρ χεὶρ κυρίου ἦν μετ' αὐτοῦ. Καὶ Ζαχαρίας ὁ πατὴρ αὐτοῦ ἐπλήσθη (se llenó) πνεύματος ἁγίου…

47. Καὶ πάντες οἱ ἀκούσαντες ἐθαύμασαν περὶ τῶν λαληθέντων ὑπὸ τῶν ποιμένων (pastores) πρὸς αὐτούς. (ΚΑΤΑ ΛΟΥΚΑΝ 2:18)

48. Καὶ ἀποκριθεὶς εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι Εἴρηται, Οὐκ ἐκπειράσεις (tentarás) κύριον τὸν θεόν σου.

49. Καὶ ὑπέστρεψεν ὁ Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ πνεύματος εἰς τὴν Γαλιλαίαν. καὶ φήμη (noticia) ἐξῆλθεν καθ' ὅλης τῆς περιχώρου (región a su alrededor) περὶ αὐτοῦ. καὶ αὐτὸς ἐδίδασκεν ἐν ταῖς συναγωγαῖς αὐτῶν, δοξαζόμενος ὑπὸ πάντων. (ΚΑΤΑ ΛΟΥΚΑΝ 4:14-15)

50. Ἀναστὰς δὲ ἐκ τῆς συναγωγῆς, εἰσῆλθεν εἰς τὴν οἰκίαν Σίμωνος·

51. πᾶς ὁ ἐρχόμενος πρός με καὶ ἀκούων μου τῶν λόγων καὶ ποιῶν αὐτούς, ὑποδείξω (mostraré) ὑμῖν τίνι ἐστὶν ὅμοιος· ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομοῦντι οἰκίαν… (ΚΑΤΑ ΛΟΥΚΑΝ 6:47)

52. Ὁ δὲ ἀκούσας καὶ μὴ ποιήσας ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομήσαντι οἰκίαν ἐπὶ τὴν γῆν χωρὶς θεμελίου (fundamento)·

53. Καὶ ὑποστρέψαντες οἱ πεμφθέντες εἰς τὸν οἶκον εὗρον τὸν ἀσθενοῦντα δοῦλον ὑγιαίνοντα (sanado). (ΚΑΤΑ ΛΟΥΚΑΝ 7:10)

54. καὶ ἔδωκεν αὐτὸν τῇ μητρὶ αὐτοῦ. ἔλαβεν δὲ φόβος πάντας, καὶ ἐδόξαζον τὸν θεὸν λέγοντες ὅτι Προφήτης μέγας ἠγέρθη ἐν ἡμῖν, καὶ ὅτι Ἐπεσκέψατο (ha visitado) ὁ θεὸς τὸν λαὸν αὐτοῦ. καὶ ἐξῆλθεν ὁ λόγος οὗτος ἐν ὅλῃ τῇ Ἰουδαίᾳ περὶ αὐτοῦ καὶ πάσῃ τῇ περιχώρῳ (región a su alrededor).

55. …ὁ Ἰωάννης ἔπεμψεν πρὸς τὸν κύριον λέγων, Σὺ εἶ ὁ ἐρχόμενος ἢ ἄλλον προσδοκῶμεν (esperamos); παραγενόμενοι δὲ πρὸς αὐτὸν οἱ ἄνδρες εἶπαν, Ἰωάννης ὁ βαπτιστὴς (el bautista) ἀπέστειλεν ἡμᾶς πρὸς σὲ λέγων, Σὺ εἶ ὁ ἐρχόμενος ἢ ἄλλον προσδοκῶμεν (esperamos); ἐν ἐκείνῃ τῇ ὥρᾳ ἐθεράπευσεν πολλοὺς… (ΚΑΤΑ ΛΟΥΚΑΝ 7:18-21)

56. Καὶ πᾶς ὁ λαὸς ἀκούσας καὶ οἱ τελῶναι (cobradores de impuestos) ἐδικαίωσαν τὸν θεόν, βαπτισθέντες τὸ βάπτισμα Ἰωάννου·

57. ἐλήλυθεν γὰρ Ἰωάννης ὁ βαπτιστὴς μὴ ἐσθίων ἄρτον μήτε πίνων οἶνον, καὶ λέγετε, Δαιμόνιον ἔχει· ἐλήλυθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ λέγετε, Ἰδοὺ ἄνθρωπος φάγος (glotón)… (ΚΑΤΑ ΛΟΥΚΑΝ 7:33-34)

58. Ἔστιν δὲ αὕτη ἡ παραβολή· Ὁ σπόρος (semilla) ἐστὶν ὁ λόγος τοῦ θεοῦ. Οἱ δὲ παρὰ τὴν ὁδόν εἰσιν οἱ ἀκούοντες, εἶτα (entonces) ἔρχεται ὁ διάβολος καὶ αἴρει τὸν λόγον ἀπὸ τῆς καρδίας αὐτῶν, ἵνα μὴ πιστεύσαντες σωθῶσιν.

59. ὁ δὲ ἀποκριθεὶς εἶπεν πρὸς αὐτούς, Μήτηρ μου καὶ ἀδελφοί μου οὗτοί εἰσιν οἱ τὸν λόγον τοῦ θεοῦ ἀκούοντες καὶ ποιοῦντες. (ΚΑΤΑ ΛΟΥΚΑΝ 8:21)

60. Καὶ ἰδού, ἦλθεν ἀνὴρ ᾧ ὄνομα Ἰάειρος (Jairo), καὶ αὐτὸς ἄρχων τῆς συναγωγῆς ὑπῆρχεν, καὶ πεσὼν παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ παρεκάλει αὐτὸν εἰσελθεῖν (entrar) εἰς τὸν οἶκον αὐτοῦ·

61. καὶ εἶπεν αὐτοῖς, Ὃς ἂν δέξηται τοῦτο τὸ παιδίον ἐπὶ τῷ ὀνόματί μου ἐμὲ δέχεται, καὶ ὃς ἂν ἐμὲ δέξηται δέχεται τὸν ἀποστείλαντά με· ὁ γὰρ μικρότερος (más pequeño) ἐν πᾶσιν ὑμῖν ὑπάρχων οὗτός ἐστιν μέγας. (ΚΑΤΑ ΛΟΥΚΑΝ 9:48)

62. Μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει ποιοῦντα οὕτως.

63. Ἐκεῖνος δὲ ὁ δοῦλος ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου ἑαυτοῦ, καὶ μὴ ἑτοιμάσας μηδὲ ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ, δαρήσεται (recibirá azotes) πολλάς· (ΚΑΤΑ ΛΟΥΚΑΝ 12:47)

64. Ἰδοὺ τρία ἔτη ἀφ’ οὗ ἔρχομαι ζητῶν καρπὸν ἐν τῇ συκῇ (higuera) ταύτῃ καὶ οὐχ εὑρίσκω.

65. ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου, καὶ ἐρῶ αὐτῷ, Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου· καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι (será llamado) υἱός σου· (ΚΑΤΑ ΛΟΥΚΑΝ 15:18-19)

25.5 VOCABULARIO

Verbos

1. **ἐλεέω** tengo misericordia Mateo 9:27
   δύο τυφλοί, κράζοντες καὶ λέγοντες, **Ἐλέησον** ἡμᾶς, ⸀ υἱὲ ⸁ Δαυίδ.
   dos ciegos llamando y diciendo, “**Ten misericordia** de nosotros, hijo de David”.

2. **ἐλπίζω** espero Lucas 24:21
   ἠλπίζομεν ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ.
   Esperábamos que él es el que estaba por liberar a Israel.

3. **ἐπικαλέω** llamo Rom 10:13
   Πᾶς γὰρ ὃς ἂν **ἐπικαλέσηται** τὸ ὄνομα κυρίου σωθήσεται.
   Porque todo aquel que invoque el nombre del Señor **será salvo**.

4. **ἐπιτιμάω** reprendo, advierto Mateo 16:22
   ὁ Πέτρος ἤρξατο **ἐπιτιμᾷν** αὐτῷ
   Pedro empezó a **reprender**le

5. **καθαρίζω** limpio, purifico 1 Juan 1:7
   τὸ αἷμα Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ αὐτοῦ **καθαρίζει** ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας.
   la sangre de Jesucristo, su Hijo, nos **limpia** de todo pecado.

6. **παραγγέλλω** ordeno, mando 1 Co 7:10
   παραγγέλλω, οὐκ ἐγώ, ἀλλ' ὁ κύριος
   Mando, pero no yo sino el Señor

7. **παρέρχομαι** (παρα + ερχ* and ελθ*) paso, paso por
   Ἰησοῦς ὁ Ναζωραῖος **παρέρχεται**. Lucas 18:37
   Jesús el Nazareno **está pasando**.

8. **σκανδαλίζω** tropiezo, hago tropezar Mateo 18:6
   Ὃς δ' ἂν **σκανδαλίσῃ** ἕνα τῶν μικρῶν τούτων
   Pero el que **hace tropezar** a uno de estos pequeños

9. **φαίνω** brillo, resplandezco, aparezco
   a. τὸ φῶς ἐν τῇ σκοτίᾳ **φαίνει** Juan 1:5
      la luz **brilla** en las tinieblas
   b. ἠκρίβωσεν παρ' αὐτῶν τὸν χρόνον τοῦ **φαινομένου** ἀστέρος. Mateo 2:7
      indagó de ellos el tiempo cuando **apareció** la estrella.

10. **φεύγω** huyo Santiago 4:7
    Ὑποτάγητε οὖν τῷ θεῷ· ἀντίστητε ⸀ δὲ ⸁ τῷ διαβόλῳ, καὶ **φεύξεται** ἀφ' ὑμῶν.
    Por lo tanto, sométanse a Dios y resistan al diablo y **huirá** de ustedes.

Sustantivos

11.	**ἡ παρρησία**, ας	audacia, valor, coraje, franqueza	2 Co 7:4

Πολλή μοι **παρρησία** πρὸς ὑμᾶς
mucha es mi **franqueza** hacia ustedes

12.	**ἡ φυλή**, ῆς	tribu	Ap 5:5

ἐνίκησεν ὁ λέων ὁ ἐκ τῆς **φυλῆς** Ἰούδα
el león de la **tribu** de Judá venció

Adverbio

13.	**ὁμοίως**	asimismo	Mateo 26:35

οὐ μή σε ⸀ ἀπαρνήσωμαι. ⸁Ὁ**μοίως** δὲ καὶ πάντες οἱ μαθηταὶ εἶπον.
nunca jamás te negaré. Y **asimismo** dijeron todos los discípulos.

Partícula

14.	**πλήν**	no obstante, pero, sino	Mateo 26:39

πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ.
no obstante, no como yo *lo* quiero sino como tú *lo quieres*.

15.	**ναί**	sí	Mateo 5:37

Ἔστω δὲ ὁ λόγος ὑμῶν, **ναὶ ναί**
Pero que sea su palabra **sí**, **sí**

26 PARTICIPIO PERFECTO

26.1 GRAMÁTICA

26.1.1 Introducción

Repase desde la sección 24.1.1 hasta la 24.1.9 porque la información presentada también aplica al participio perfecto.

26.1.2 Un vistazo de las partes del perfecto activo participio

λελυκώς

λε	λυ	κ	ως
Reduplicación	**Tema perfecto activo**	**Señal temporal perfecto activo**	**Terminación activa, nominativo, masculino, singular**

Raíz: **λυ***

26.1.3 Reduplicación

El participio perfecto lleva la reduplicación. Repase la sección 21.1.5.

26.1.4 Señal temporal

La señal temporal del perfecto activo participio es kappa (κ). El perfecto medio/pasivo no utiliza una señal temporal.

26.1.5 Terminaciones del perfecto activo y medio/pasivo

	Caso	Masculino	Femenino	Neutro
		Voz activa		
Singular	Nominativo	κως	κυια	κος
	Genitivo	κοτος	κυιης	-
	Dativo	κοτι	-	κοτι
	Acusativo	κοτα	κυιαν	κος
Plural	Nominativo	κοτες	κυιαι	κοτα
	Genitivo	κοτων	-	κοτων
	Dativo	κοσι(ν)	-	-
	Acusativo	κοτας	-	κοτα
		Voz media/pasiva		
Singular	Nominativo	μενος	μενη	μενον
	Genitivo	μενου	μενης	μενου
	Dativo	μενῳ	μενη	μενῳ
	Acusativo	μενον	μενην	μενον
Plural	Nominativo	μενοι	μεναι	μενα
	Genitivo	μενων	μενων	μενων
	Dativo	μενοις	μεναις	μενοις
	Acusativo	μενους	μενας	μενα

26.1.6 Tema perfecto

Las terminaciones de arriba se agregan respectivamente al tema perfecto activo y perfecto pasivo,. Repase desde la sección 21.1.8 hasta la 21.1.9 sobre esos temas.

26.1.7 Repaso del participio, sus usos, y el artículo

Para repasar, el participio cuenta con usos adjetivales y verbales. La presencia del artículo es la pista más importante del contexto para determinar el uso del participio. Si el artículo acompaña el participio, el uso del participio siempre será adjetival. Si el artículo está ausente, el participio es a veces adjetival pero muchas veces es verbal. El contexto tiene que ser examinado para decidir entre los dos.

El ver varios ejemplos es la mejor forma de entender los distintos usos. Este capítulo repasa los usos adjetivales y verbales presentados en los dos capítulos anteriores con ejemplos del tiempo perfecto También presentará dos nuevos usos adverbiales, el participio perifrástico y el genitivo absoluto.

26.1.8 Usos adjetivales del participio (Ejemplos con el tiempo perfecto)

Uso sustantivado (Ejemplos con el tiempo perfecto)
Con este uso, el participio funciona como un sustantivo.

Ejemplo 1: **ὁ ἑωρακὼς** ἐμὲ ἑώρακεν τὸν πατέρα·
El que me **ha visto** ha visto al Padre.

El participio perfecto **ἑωρακὼς** es adjetival porque lleva el artículo (**ὁ**). El uso del participio es sustantivado porque no modifica a otro sustantivo en la oración. El participio está en el caso nominativo porque es el sujeto del verbo **ἑώρακεν**.

Ejemplo 2: Πολλοί τε **τῶν πεπιστευκότων** ἤρχοντο ἐξομολογούμενοι...
Y muchos **de los que habían creído** venían confesando…

El participio perfecto **πεπιστευκότων** es adjetival porque lleva el artículo (**τῶν**). El uso del participio es sustantivado porque no modifica otro sustantivo en la oración. El participio está en el caso genitivo porque para formar una relación con **Πολλοί**. "Los que habían creído" (**τῶν πεπιστευκότων**) especifica la identidad de los muchos (**Πολλοί**).

Este ejemplo se traduce mejor al español usando el tiempo pluscuamperfecto ("habían creído") en vez del perfecto ("han creído").[1] Es un buen ejemplo para reflejar que a veces los idiomas usan los tiempos de forma distinta. Usted tendrá que ser flexible con sus traducciones cuando sea necesario.

[1] La razón se debe a que el tiempo del participio es relativo al del verbo central que está en el tiempo imperfecto. Puesto que el tiempo perfecto describe una acción antes del tiempo del verbo central, requiere el pluscuamperfecto en español.

Uso atributivo (Ejemplos del tiempo perfecto)
Con este uso, el participio modifica un sustantivo.

Ejemplo 3: Περὶ δὲ τῶν **πεπιστευκότων** ἐθνῶν ἡμεῖς ἐπεστείλαμεν...
Pero con respecto a los gentiles **que han creído**, escribimos...

El participio perfecto **πεπιστευκότων** es adjetival porque lleva el artículo (**τῶν**). El uso del participio es atributivo porque modifica el sustantivo **ἐθνῶν**, ya que claramente se desprende de la construcción artículo-participio-sustantivo y porque **πεπιστευκότων** concuerda con **ἐθνῶν** (su sujeto) en caso (genitivo), género (neutro), y número (plural). El sustantivo **ἐθνῶν** está en el caso genitivo porque es el objeto de la preposición **Περί**.

Ejemplo 4: …λάβε τὸ βιβλίον **τὸ ἠνεῳγένον** ἐν τῇ χειρὶ τοῦ ἀγγέλου...
…toma el libro que ha sido abierto en la mano del ángel…

El participio perfecto **ἠνεῳγένον** es adjetival porque lleva el artículo (**τό**). El uso del participio es atributivo porque modifica el sustantivo **βιβλίον** como se desprende de la construcción artículo-sustantivo-artículo-participio y porque **ἠνεῳγένον** concuerda con **βιβλίον** (su sujeto) en caso (acusativo), género (neutro), y número (singular). El sustantivo **βιβλίον** está en el caso acusativo porque es el objeto directo del verbo **λάβε**.

Uso predicativo (Ejemplos con el tiempo perfecto)
Con este uso, el participio completa un pensamiento del sustantivo. El uso predicativo del participio perfecto es más o menos común.

Ejemplo 5: **εὐλογημένος** ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου·
Bendito es el que viene en el nombre del Señor.

A pesar de que el participio perfecto **εὐλογημένος** no lleva el artículo, el participio es adjetival porque no modifica a un verbo. El uso del participio es predicativo porque completa un pensamiento acerca de **ὁ ἐρχόμενος** (el que viene es **bendito**). El participio **εὐλογημένος** concuerda con **ὁ ἐρχόμενος**, su sujeto, en género (masculino) y número (singular). En esta instancia, el caso del participio es nominativo porque su función en la oración como un adjetivo predicativo acompaña un verbo copulativo como εἰμί.

Ejemplo 6: ...Μαρία ... βλέπει τὸν λίθον **ἠρμένον** ἐκ τοῦ μνημείου.
…María … ve (vio) la piedra **quitada** del sepulcro.

A pesar de que el participio perfecto **ἠρμένον** no lleva el artículo, el participio es adjetival porque no modifica a un verbo. El uso del participio es predicativo porque completa un pensamiento acerca del sustantivo **λίθον** (ha sido quitado). Como en esta instancia, el participio predicativo a menudo acompaña un verbo de percepción (**βλέπει**). El sustantivo **λίθον** es el sujeto del participio. Como tal, el participio concuerda con **λίθον** en caso (acusativo), género (masculino), y número (singular). El caso de **λίθον** es acusativo porque es el objeto directo del verbo **βλέπει**.

26.1.9 Usos adverbiales del participio

Un participio que no lleva el artículo es a veces adjetival pero a menudo es verbal. El contexto particular tiene que examinarse para decidir. Los usos adverbiales más comunes pueden dividirse en las siguientes subcategorías: adverbial, perifrástico, y genitivo absoluto. La primera categoría se presentó en el capítulo anterior y aquí se repasa usando ejemplos del tiempo perfecto. Este capítulo también presenta el uso perifrástico y genitivo absoluto.

Uso adverbial (Ejemplos con el tiempo perfecto)

Con este uso, el participio (sin el artículo) modifica un verbo de la oración. En otras palabras, el participio da más información sobre la acción verbal en cuanto al “cómo”, “cuándo”, “por qué”, etc. Considere los siguientes ejemplos con participios del tiempo perfecto.

Ejemplo 7: Ἐξανέστησαν δέ τινες τῶν ἀπο τῆς αἱρέσεως τῶν φαρισαίων **πεπιστευκότες** λέγοντες...
Pero algunos de los de la división de los fariseos, **habiendo creído**, se levantaron diciendo…

Ejemplo 8: καὶ τοῦτο **πεποιθὼς** οἶδα ὅτι μενῶ καὶ παραμενῶ πᾶσιν ὑμῖν εἰς τὴν ὑμῶν προκοπὴν καὶ χαρὰν τῆς πίστεως...
Y, **teniendo confianza en** esto, sé que permaneceré con todos ustedes para su avance y gozo de fe…

Uso perifrástico (Ejemplos con el tiempo presente, aoristo, y perfecto)

Con este uso, el verbo εἰμί o γίνομαι (ser/estar) y el participio se combinan para formar una idea verbal. La traducción adecuada de la idea verbal dependerá del tiempo de εἰμί y del participio. Para el uso perifrástico, el participio normalmente estará en el caso nominativo. Considere los siguientes ejemplos.

Verbo presente con participio presente

Ejemplo 9: …καὶ ἰδοῦ **ζῶν εἰμι** εἰς τοὺς αἰῶνας τῶν αἰώνων...
...y he aquí **vivo** por los siglos de los siglos…

Verbo imperfecto y participio presente

Ejemplo 10: καὶ αὐτὸς **ἦν διδάσκων**, καὶ **ἦσαν καθήμενοι** Φαρισαῖοι…
y él **estaba enseñando** y los fariseos **estaban sentados**…

Ejemplo 11: Ἐγὼ **ἤμην** ἐν πόλει Ἰόππῃ **προσευχόμενος**…
Yo **estaba orando** en la cuidad de Jope…

Verbo futuro con participio presente

Ejemplo 12: Καὶ **ἔσεσθε μισούμενοι** ὑπὸ πάντων διὰ τὸ ὄνομά μου·
y *ustedes* **serán odiados** por todos por causa de mi nombre.

Verbo presente con participio perfecto

Ejemplo 13: …χάριτί **ἐστε σεσῳσμένοι**...
...y por gracia *ustedes* **son salvos**…

Verbo imperfecto con participio perfecto

Ejemplo 14: Οὔπω γὰρ **ἦν βεβλημένος** εἰς τὴν φυλακὴν ὁ Ἰωάννης.
porque Juan todavía no **había sido metido** en la cárcel.[2]

Uso del genitivo absoluto (Ejemplos con el tiempo presente, aoristo, y perfecto)

Con este uso, el participio modifica un verbo en la oración, usualmente describiendo "cuándo" sucede la acción. Aunque es técnicamente una subcategoría del uso adverbial, las características de este participio son tales que se justifican en una discusión aparte. Estas características son:

1. El sujeto del participio siempre difiere del sujeto del verbo central.
2. El sujeto del participio está a menudo cerca de un sustantivo o pronombre en el caso genitivo.
3. El participio siempre está en el caso genitivo.
4. El participio a menudo está al inicio de la oración.

Al traducir el genitivo absoluto al español a menudo se requiere de una frase dependiente que consista de una señal temporal como "mientras" o "después de", un sujeto del participio, y un verbo finito.[3] Considere los siguientes ejemplos del genitivo absoluto.

Participio en el tiempo presente

Ejemplo 15: Ταῦτα **αὐτοῦ λαλοῦντος** πολλοὶ ἐπίστευσαν εἰς αὐτόν.
Mientras él decía estas cosas, muchos creyeron en él.

Participio en el tiempo aoristo

Ejemplo 16: **Καταβάντος** δὲ **αὐτοῦ** ἀπὸ τοῦ ὄρους ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί.
Pero, **después de que él descendió** del monte, muchas multitudes le siguieron.

Ejemplo 17: Καὶ **ἐκβληθέντος τοῦ δαιμονίου** ἐλάλησεν ὁ κωφός.
Y después de que **el demonio fue echado fuera**, el mudo habló.

Participio en el tiempo perfecto

Ejemplo 18: **Συνηγμένων** οὖν **αὐτῶν** εἶπεν αὐτοις ὁ Πιλᾶτος·
Por lo tanto, **después de que ellos se habían reunido**, Pilato les dijo…

Como con el ejemplo anterior, el perfecto (**Συνηγμένων**) se traduce mejor con un pluscuamperfecto (**se habían reunido**) debido a la diferencia entre los usos de los tiempos de griego y español.

[2] Observe que el verbo imperfecto require que el participio perfecto se traduzca con el pluscuamperfecto en español.
[3] A veces se requiere un marcador no-temporal como "porque" o "puesto que" en algunos contextos.

26.2 VERBOS OMEGA: PERFECTO PARTICIPIO (TODAS LAS VOCES)

Memorice las formas masculinas del participio perfecto, sobre todo el caso nominativo.

26.2.1 Formas del perfecto activo participio de λύω

Caso	**Masculino**	**Femenino**	**Neutro**
Singular			
Nominativo	**λελυκώς**	**λελυκυῖα**	**λελυκός**
Genitivo	**λελυκότος**	**λελυκυίης**	-
Dativo	**λελυκότι**	-	**λελυκότι**
Acusativo	**λελυκότα**	**λελυκυῖαν**	**λελυκός**
Plural			
Nominativo	**λελυκότες**	**λελυκυῖαι**	**λελυκότα**
Genitivo	**λελυκότων**	-	**λελυκότων**
Dativo	**λελυκόσι(ν)**	-	-
Acusativo	**λελυκότας**	-	**λελυκότα**

26.2.2 Formas del perfecto medio/pasivo de λύω

Caso	**Masculino**	**Femenino**	**Neutro**
Singular			
Nominativo	**λελυμένος**	**λελυμένη**	**λελυμένον**
Genitivo	**λελυμένου**	**λελυμένης**	**λελυμένου**
Dativo	**λελυμένῳ**	**λελυμένῃ**	**λελυμένῳ**
Acusativo	**λελυμένον**	**λελυμένην**	**λελυμένον**
Plural			
Nominativo	**λελυμένοι**	**λελυμέναι**	**λελυμένα**
Genitivo	**λελυμένων**	**λελυμένων**	**λελυμένων**
Dativo	**λελυμένοις**	**λελυμέναις**	**λελυμένοις**
Acusativo	**λελυμένους**	**λελυμένας**	**λελυμένα**

26.3 EJERCICIOS

Lea las siguientes oraciones en voz alta y luego tradúzcalas. Con los primeros 30 ejercicios analice la palabra **en negrita**. Para los participios, "analice" significa escribir el tiempo, voz, "participio", caso, género, número, y forma léxica.

Además, si la palabra en negrita es un participio:

1. Indique si el uso es sustantivado (el participio funciona como un sustantivo), atributivo (modifica un sustantivo), o predicativo (completa un pensamiento sobre un sustantivo).

2. Indique por qué el participio tiene el caso que tiene. Es decir, si el uso es sustantivado, el participio tiene el caso que tiene porque realiza una función en la oración como sujeto, objeto directo, objeto indirecto, etc. ¿Cuál es la función del participio en negrita? Si el uso es atributivo o predicativo, tiene el caso que tiene porque concuerda con su sujeto en caso. ¿Cuál es el sujeto del participio?

1. Μακάριοι οἱ εἰρηνοποιοί (los que hacen paz)· ὅτι αὐτοὶ υἱοὶ θεοῦ κληθήσονται. Μακάριοι οἱ **δεδιωγμένοι** ἕνεκεν (por causa de) δικαιοσύνης· ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 5:9-10)

2. Καὶ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν Πέτρου, εἶδεν τὴν πενθερὰν (suegra) αὐτοῦ **βεβλημένην** καὶ πυρέσσουσαν (que tenía fiebre), καὶ ἥψατο τῆς χειρὸς αὐτῆς…

3. Καὶ ἔσεσθε **μισούμενοι** ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 10:22)

4. Καὶ δώσω σοὶ τὰς κλεῖς (llaves) τῆς βασιλείας τῶν οὐρανῶν· καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται **δεδεμένον** ἐν τοῖς οὐρανοῖς· καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς. Τότε διεστείλατο (él ordenó) τοῖς μαθηταῖς αὐτοῦ ἵνα μηδενὶ εἴπωσιν ὅτι αὐτός ἐστιν Ἰησοῦς ὁ Χριστός.

5. Ἀμὴν λέγω ὑμῖν, εἰσίν τινες ὧδε ἑστῶτες, οἵτινες οὐ μὴ γεύσωνται (de ninguna manera probará) θανάτου, ἕως ἂν ἴδωσιν τὸν υἱὸν τοῦ ἀνθρώπου **ἐρχόμενον** ἐν τῇ βασιλείᾳ αὐτοῦ. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 16:28)

6. Καὶ **καταβαινόντων** αὐτῶν ἐκ τοῦ ὄρους, ἐνετείλατο (ordenó) αὐτοῖς ὁ Ἰησοῦς, λέγων, Μηδενὶ εἴπητε (di)…

7. **Ἐλθόντων** δὲ αὐτῶν εἰς Καπερναούμ (Capernaum), προσῆλθον οἱ τὰ δίδραχμα (dracmas) λαμβάνοντες τῷ Πέτρῳ καὶ εἶπον… (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 17:24)

8. Ἀμὴν λέγω ὑμῖν, ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς, ἔσται **δεδεμένα** ἐν τῷ οὐρανῷ· καὶ ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ.

9. Οὗ γάρ εἰσιν δύο ἢ τρεῖς **συνηγμένοι** εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν. Τότε προσελθὼν αὐτῷ ὁ Πέτρος εἶπεν, Κύριε, ποσάκις (cuántas veces) ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου, καὶ ἀφήσω αὐτῷ; Ἕως ἑπτάκις (siete veces); (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 18:20-21)

10. Καὶ **εἰσελθόντος** αὐτοῦ εἰς Ἱεροσόλυμα, ἐσείσθη (se turbó) πᾶσα ἡ πόλις, λέγουσα, Τίς ἐστιν οὗτος; Οἱ δὲ ὄχλοι ἔλεγον, Οὗτός ἐστιν Ἰησοῦς ὁ προφήτης, ὁ ἀπὸ Ναζαρὲτ (Nazaret) τῆς Γαλιλαίας.

11. Τότε λέγει τοῖς δούλοις αὐτοῦ, Ὁ μὲν γάμος (boda) ἕτοιμός ἐστιν, οἱ δὲ **κεκλημένοι** οὐκ ἦσαν ἄξιοι. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 22:8)

12. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, Πλανᾶσθε, μὴ εἰδότες τὰς γραφάς, μηδὲ τὴν δύναμιν τοῦ θεοῦ. Ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν (se casan), οὔτε ἐκγαμίζονται (se darán en matrimonio), ἀλλ' ὡς ἄγγελοι τοῦ θεοῦ ἐν οὐρανῷ εἰσιν. Περὶ δὲ τῆς ἀναστάσεως τῶν νεκρῶν, οὐκ ἀνέγνωτε τὸ ῥηθὲν ὑμῖν ὑπὸ τοῦ θεοῦ, **λέγοντος**, Ἐγώ εἰμι ὁ θεὸς Ἀβραάμ, καὶ ὁ θεὸς Ἰσαάκ, καὶ ὁ θεὸς Ἰακώβ; Οὐκ ἔστιν ὁ θεὸς θεὸς νεκρῶν, ἀλλὰ ζώντων.

13. **Συνηγμένων** δὲ τῶν Φαρισαίων, ἐπηρώτησεν αὐτοὺς ὁ Ἰησοῦς, λέγων, Τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; Τίνος υἱός ἐστιν; Λέγουσιν αὐτῷ, Τοῦ Δαυίδ. Λέγει αὐτοῖς, Πῶς οὖν Δαυὶδ ἐν πνεύματι κύριον αὐτὸν καλεῖ, λέγων, Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, Κάθου (Siéntate) ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον (estrado) τῶν ποδῶν σου; Εἰ οὖν Δαυὶδ καλεῖ αὐτὸν κύριον, πῶς υἱὸς αὐτοῦ ἐστιν; (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 22:41-45)

14. Ἱερουσαλήμ, Ἱερουσαλήμ, ἡ ⸀ **ἀποκτένουσα** ⸁ τοὺς προφήτας καὶ λιθοβολοῦσα (apedreando) τοὺς ἀπεσταλμένους πρὸς αὐτήν…

15. Λέγω γὰρ ὑμῖν, οὐ μή με ἴδητε ἀπ' ἄρτι, ἕως ἂν **εἴπητε**, Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 23:39)

16. Τότε **ἐρεῖ** ὁ βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ, Δεῦτε (Ven), οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε (hereden) τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν…

17. **Ἐσθιόντων** δὲ αὐτῶν, λαβὼν ὁ Ἰησοῦς τὸν ἄρτον, καὶ εὐχαριστήσας, ἔκλασεν (rompió) καὶ ἐδίδου τοῖς μαθηταῖς, καὶ εἶπεν… (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 26:26)

18. Καὶ ἐπέθηκαν ἐπάνω (sobre) τῆς κεφαλῆς αὐτοῦ τὴν αἰτίαν (causa) αὐτοῦ **γεγραμμένην**, Οὗτός ἐστιν Ἰησοῦς ὁ βασιλεὺς τῶν Ἰουδαίων.

19. Τινὲς δὲ τῶν ἐκεῖ **ἑστώτων** ἀκούσαντες ἔλεγον ὅτι Ἠλίαν φωνεῖ οὗτος. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 27:47)

20. Ἀποκριθεὶς δὲ ὁ ἄγγελος εἶπεν ταῖς γυναιξίν, Μὴ φοβεῖσθε (tengan miedo) ὑμεῖς· οἶδα γὰρ ὅτι Ἰησοῦν τὸν ἐσταυρωμένον ζητεῖτε. Οὐκ ἔστιν ὧδε· ἠγέρθη γάρ, καθὼς εἶπεν.

21. Καὶ ἔρχονται πάλιν εἰς Ἱεροσόλυμα· καὶ ἐν τῷ ἱερῷ **περιπατοῦντος** αὐτοῦ, ἔρχονται πρὸς αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι, καὶ λέγουσιν αὐτῷ, Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; Καὶ τίς σοι τὴν ἐξουσίαν ταύτην ἔδωκεν ἵνα ταῦτα ποιῇς; Ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς εἶπεν αὐτοῖς, Ἐπερωτήσω ὑμᾶς καὶ ἐγὼ ἕνα λόγον, καὶ ἀποκρίθητέ μοι, καὶ ἐρῶ ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. Τὸ βάπτισμα Ἰωάννου ἐξ οὐρανοῦ ἦν, ἢ ἐξ ἀνθρώπων; Ἀποκρίθητέ (Contesten) μοι. Καὶ ἐλογίζοντο πρὸς ἑαυτούς, λέγοντες, Ἐὰν εἴπωμεν, Ἐξ οὐρανοῦ, ἐρεῖ, Διὰ τί οὖν οὐκ ἐπιστεύσατε αὐτῷ; Ἀλλ' εἴπωμεν, Ἐξ ἀνθρώπων,

ἐφοβοῦντο τὸν λαόν· ἅπαντες γὰρ εἶχον τὸν Ἰωάννην, ὅτι ὄντως (de verdad) προφήτης ἦν. Καὶ ἀποκριθέντες λέγουσιν τῷ Ἰησοῦ, Οὐκ οἴδαμεν. Καὶ ὁ Ἰησοῦς ἀποκριθεὶς λέγει αὐτοῖς, Οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. (ΚΑΤΑ ΜΑΡΚΟΝ 11:27-33)

22. Καί τινες τῶν **παρεστηκότων** ἀκούσαντες ἔλεγον, Ἰδού, Ἠλίαν (Elías) φωνεῖ.

23. καὶ πᾶν τὸ πλῆθος ἦν τοῦ λαοῦ **προσευχόμενον** ἔξω τῇ ὥρᾳ τοῦ θυμιάματος (ofrenda)· ὤφθη δὲ αὐτῷ ἄγγελος κυρίου ἑστὼς ἐκ δεξιῶν τοῦ θυσιαστηρίου (altar)… (ΚΑΤΑ ΛΟΥΚΑΝ 1:10-11)

24. καὶ ἦν ὁ πατὴρ **αὐτοῦ** καὶ ἡ μήτηρ θαυμάζοντες ἐπὶ τοῖς λαλουμένοις περὶ αὐτοῦ. καὶ εὐλόγησεν αὐτοὺς Συμεὼν καὶ εἶπεν πρὸς Μαριὰμ τὴν μητέρα αὐτοῦ, Ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν (caída) καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ καὶ εἰς σημεῖον…

25. Καὶ κατῆλθεν (él descendió) εἰς Καφαρναοὺμ πόλιν τῆς Γαλιλαίας. καὶ ἦν **διδάσκων** αὐτοὺς ἐν τοῖς σάββασιν· καὶ ἐξεπλήσσοντο (se maravillaban) ἐπὶ τῇ διδαχῇ αὐτοῦ, ὅτι ἐν ἐξουσίᾳ ἦν ὁ λόγος αὐτοῦ. καὶ ἐν τῇ συναγωγῇ ἦν ἄνθρωπος ἔχων πνεῦμα δαιμονίου… (ΚΑΤΑ ΛΟΥΚΑΝ 4:31-33)

26. Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν καὶ αὐτὸς ἦν διδάσκων, καὶ ἦσαν **καθήμενοι** Φαρισαῖοι καὶ νομοδιδάσκαλοι (maestros de la ley) … ἐκ πάσης κώμης (región) τῆς Γαλιλαίας καὶ Ἰουδαίας καὶ Ἰερουσαλήμ·

27. **Ἀπελθόντων** δὲ τῶν ἀγγέλων Ἰωάννου, ἤρξατο λέγειν (decir) τοῖς ὄχλοις περὶ Ἰωάννου, Τί ἐξεληλύθατε εἰς τὴν ἔρημον θεάσασθαι (ver); (ΚΑΤΑ ΛΟΥΚΑΝ 7:24)

28. Πάντων δὲ **θαυμαζόντων** ἐπὶ πᾶσιν οἷς ἐποίει εἶπεν πρὸς τοὺς μαθητὰς αὐτοῦ, Θέσθε (pongan) ὑμεῖς εἰς τὰ ὦτα ὑμῶν τοὺς λόγους τούτους, ὁ γὰρ υἱὸς τοῦ ἀνθρώπου μέλλει παραδίδοσθαι (ser entregado) εἰς χεῖρας ἀνθρώπων.

29. Καὶ **πορευομένων** αὐτῶν ἐν τῇ ὁδῷ εἶπέν τις πρὸς αὐτόν, Ἀκολουθήσω σοι ὅπου ἐὰν ἀπέρχῃ. (ΚΑΤΑ ΛΟΥΚΑΝ 9:57)

30. Ἦν δὲ **διδάσκων** ἐν μιᾷ τῶν συναγωγῶν ἐν τοῖς σάββασιν· καὶ ἰδού, γυνὴ ἦν πνεῦμα ἔχουσα ἀσθενείας ἔτη δέκα καὶ ὀκτώ (ocho)…

31. Ταῦτα δὲ αὐτῶν λαλούντων, αὐτὸς ὁ Ἰησοῦς ἔστη ἐν μέσῳ αὐτῶν, καὶ λέγει αὐτοῖς, Εἰρήνη ὑμῖν. (ΚΑΤΑ ΛΟΥΚΑΝ 24:37)

32. Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης. Οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός, ἵνα πάντες πιστεύσωσιν δι' αὐτοῦ. Οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός.

33. Καὶ οἱ ἀπεσταλμένοι ἦσαν ἐκ τῶν Φαρισαίων. Καὶ ἠρώτησαν αὐτόν, καὶ εἶπον αὐτῷ, Τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστός, οὔτε Ἠλίας, οὔτε ὁ προφήτης; Ἀπεκρίθη αὐτοῖς ὁ Ἰωάννης λέγων, Ἐγὼ βαπτίζω ἐν ὕδατι· μέσος δὲ ὑμῶν ἕστηκεν ὃν ὑμεῖς οὐκ οἴδατε. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 1:24-26)

34. Καὶ ἤκουσαν αὐτοῦ οἱ δύο μαθηταὶ λαλοῦντος, καὶ ἠκολούθησαν τῷ Ἰησοῦ. Στραφεὶς (volteó) δὲ ὁ Ἰησοῦς καὶ θεασάμενος (vio) αὐτοὺς ἀκολουθοῦντας, λέγει αὐτοῖς, Τί ζητεῖτε;

35. ἀπεκρίθη αὐτῷ Ναθαναήλ, Ῥαββί, σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ, σὺ βασιλεὺς εἶ τοῦ Ἰσραήλ. ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ, Ὅτι εἶπόν σοι ὅτι εἶδόν σε ὑποκάτω (debajo de) τῆς συκῆς (higuera) πιστεύεις; … καὶ λέγει αὐτῷ, Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα καὶ τοὺς ἀγγέλους τοῦ θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 1:49-51)

36. Ἀπεκρίθη Ἰησοῦς, Ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν (entrar) εἰς τὴν βασιλείαν τοῦ θεοῦ. Τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστιν· καὶ τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμά ἐστιν.

37. Ἦν δὲ καὶ Ἰωάννης βαπτίζων ἐν Αἰνὼν ἐγγὺς τοῦ ⸀ Σαλήμ, ⸂ ὅτι ὕδατα πολλὰ ἦν ἐκεῖ· καὶ παρεγίνοντο καὶ ἐβαπτίζοντο. Οὔπω (aún no) γὰρ ἦν βεβλημένος εἰς τὴν φυλακὴν (cárcel) ὁ Ἰωάννης. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 3:23-24)

38. Ἀπεκρίθη Ἰωάννης καὶ εἶπεν, Οὐ δύναται ἄνθρωπος λαμβάνειν (recibir) οὐδέν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ. Αὐτοὶ ὑμεῖς μαρτυρεῖτε ὅτι εἶπον, Οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός, ἀλλ' ὅτι Ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου.

39. Αὐτὸς γὰρ ὁ Ἰησοῦς ἐμαρτύρησεν ὅτι προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι (patria) τιμὴν οὐκ ἔχει. Ὅτε οὖν ἦλθεν εἰς τὴν Γαλιλαίαν, ἐδέξαντο αὐτὸν οἱ Γαλιλαῖοι, πάντα ἑωρακότες ἃ ἐποίησεν ἐν Ἱεροσολύμοις ἐν τῇ ἑορτῇ (fiesta)· καὶ αὐτοὶ γὰρ ἦλθον εἰς τὴν ἑορτήν (fiesta). (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 4:44-45)

40. Οἱ πατέρες ἡμῶν τὸ μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ, καθώς ἐστιν γεγραμμένον, Ἄρτον ἐκ τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν (comer). Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς, Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ Μωσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ· ἀλλ' ὁ πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν (verdadero). Ὁ γὰρ ἄρτος τοῦ θεοῦ ἐστιν ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ καὶ ζωὴν διδοὺς τῷ κόσμῳ.

41. Ταῦτα αὐτοῦ λαλοῦντος πολλοὶ ἐπίστευσαν εἰς αὐτόν. Ἔλεγεν οὖν ὁ Ἰησοῦς πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους, Ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς (verdaderamente) μαθηταί μου ἐστέ· καὶ γνώσεσθε τὴν ἀλήθειαν, καὶ ἡ ἀλήθεια ἐλευθερώσει (liberará) ὑμᾶς. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 8:30-32)

42. Ἔτι λαλοῦντος τοῦ Πέτρου τὰ ῥήματα ταῦτα, ἐπέπεσεν τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ πάντας τοὺς ἀκούοντας τὸν λόγον.

43. Εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ, πιστεύομεν ὅτι καὶ συζήσομεν (viviremos con) αὐτῷ· εἰδότες ὅτι Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν οὐκέτι ἀποθνῄσκει· θάνατος αὐτοῦ οὐκέτι κυριεύει (gobierna). (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 6:8-9)

44. Ὡς καὶ ἐν τῷ Ὡσηὲ λέγει, Καλέσω τὸν οὐ λαόν μου λαόν μου· καὶ τὴν οὐκ ἠγαπημένην ἠγαπημένην. Καὶ ἔσται, ἐν τῷ τόπῳ οὗ ἐρρήθη αὐτοῖς, Οὐ λαός μου ὑμεῖς, ἐκεῖ κληθήσονται υἱοὶ θεοῦ ζῶντος.

45. Οὐ γὰρ ἔκρινα τοῦ εἰδέναι (saber) τι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστόν, καὶ τοῦτον ἐσταυρωμένον. (ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α 2:2)

